ριον εἰσελθών, καὶ τὰ τίμια ξύλα προσκυνήσας, ἐξέρχεται, εἶθ' οὕτως, ὑποστρέψας διὰ τῆς σωλέας, ἀνέρχεται τρίτον βάθρον τοῦ ἄμβωνος ἢ καὶ τέταρτον, καὶ ἵσταται ἐκεῖσε, κρατῶν τὸ κηρίον· οἱ δὲ τοῦ κουβουκλείου ἄρχοντες ἵστανται ἐν τῇ σωλέᾳ ἐνώπιον τοῦ βασιλέως, οἱ δὲ εὐνοῦχοι πρωτοσπαθάριοι ἐξ εὐωνύμου τοῦ ἄμβωνος εἰς τὸ σκάμνον, οἱ δὲ τοῦ μαγλαβίου ὀπίσω τῶν εὐνούχων πρωτοσπαθαρίων, ἴσον τοῦ ἀριστεροῦ μέρους τοῦ ἄμβωνος· διὰ τὸ μὴ διοδεύειν τινὰ ἐνώπιον τοῦ βασιλέως. τοῦ δὲ πατριάρχου ἀνελθόντος μετὰ τῶν τιμίων ξύλων εἰς τὸν ἄμβωνα, ἐπιδίδωσιν ὁ βασιλεὺς τὸ λιτανίκιον αὐτοῦ κηρίον τῷ πραιποσίτῳ, καὶ λαβὼν ἕτερα τῆς προσευχῆς, ἵσταται μετ' αὐτῶν, ἕως ἂν ὑψώσῃ ἐν τοῖς τέσσαρσι μέρεσι τοῦ ἄμβωνος. εἶτα ἐπιδοὺς ὁ βασιλεὺς τοὺς κηροὺς τῷ πραιποσίτῳ, κατέρχονται ἀμφότεροι διὰ τῆς σωλέας, ὅ,τε βασιλεὺς καὶ ὁ πατριάρχης, καὶ εἰσέρχονται εἰς τὸ θυσιαστήριον, προτιθεμένων τῶν τιμίων ξύλων, καὶ τοῦ βασιλέως εὐξαμένου καὶ προσκυνήσαντος τὰ τίμια ξύλα, ἐξέρχεται διὰ τοῦ πλαγίου τοῦ θυσιαστηρίου, καὶ διασώζει αὐτὸν ὁ πατριάρχης μέχρι τοῦ ἁγίου φρέατος» ([25]).

Ἑορτὴ τῶν Χριστουγέννων.— Τὴν περιφανῆ ταύτην προέλευσιν οὕτως ἱστορεῖ πάλιν ὁ Πορφυρογέννητος· «Καὶ εἰσελθόντος τοῦ βασιλέως πρὸ τοῦ νάρθηκος ἔνδον τοῦ βήλου, λαμβάνει ὁ πραιπόσιτος τὸ στέμμα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως, εἰσέρχεται ὁ βασιλεὺς ἐν τῷ νάρθηκι, καὶ δέχεται αὐτὸν ὁ πατριάρχης, εἶτα προσκυνήσαντες ἀλλήλους καὶ ἀσπασάμενοι, κρατήσαντες ἀλλήλων τὰς χεῖρας, διέρχονται μέχρι τῶν βασιλικῶν πυλῶν, κἀκεῖσε στὰς ὁ βασιλεὺς ἅπτει κηρούς, καὶ τοῦ πατριάρχου ἐκτελέσαντος τὴν εὐχὴν τῆς εἰσόδου τῆς θείας λειτουργίας, ἐπιδίδωσι ὁ βασιλεὺς τῷ πραιποσίτῳ τοὺς κηρούς, καὶ ὁ πραιπόσιτος τῷ τῆς καταστάσεως. καὶ ἀσπασάμενος ὁ βασιλεὺς τὸ ἄχραντον εὐαγγέλιον, εἰσέρχεται μέσον διὰ τοῦ ναοῦ, καὶ διὰ τῆς πλαγίας τοῦ ἄμβωνος καὶ τῆς σωλαίας διελθών, ἵσταται ἐνώπιον τῶν ἁγίων θυρῶν, καὶ λαβὼν κηρία ἀπὸ τοῦ πραιποσίτου καὶ εὐξάμενος, ἐπιδίδωσιν αὐτὰ πάλιν τῷ πραιποσίτῳ καὶ εἰσέρχεται ἔνδον εἰς τὸ θυσιαστήριον, καὶ ὑφαπλοῖ ἐν τῇ ἁγίᾳ τραπέζῃ δύο εἰλιτά, ἀσπαζόμενος δύο ἱερὰ ποτήρια καὶ δύο ἱεροὺς δίσκους καὶ τὰ σπάργανα τοῦ Κυρίου, εἶτα λαβὼν ἀπὸ τοῦ πραιποσίτου ἀποκόμβιον ὁ βασιλεύς, τίθησιν αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ ἐξέρχεται διὰ τῆς πλαγίας τοῦ βήματος, καὶ εἰσέρχεται εἰς τὸ μητατώριον, ἅπτων κἀκεῖσε κηρούς. τελουμένης δὲ τῆς θείας λειτουργίας, ἡνίκα μέλλουσι τὰ ἅγια διέρχεσθαι, ἐξέρχεται ὁ βασιλεύς, δηριγευόμενος ὑπό τε τῶν πατρικίων καὶ λοιπῶν ἀρχόντων, καὶ κατέρχεται διὰ τῆς πλαγίας τοῦ ναοῦ, καὶ ἀπέρχεται,, ἔνθα ἵσταται τὸ κηρίον, ὅπερ μέλλει βαστάξαι, καὶ πλησιάσαντος τοῦ βασιλέως εἰς τὸν τόπον, ἐν ᾧ ἵσταται τὸ κηρίον αὐτοῦ, ἵσταται ἡ σύγκλητος ἔνθεν κἀκεῖθεν, καὶ διέρχεται μέσον αὐτῶν. καὶ πλησιάσαντος τῇ λαμπάδι αὐτοῦ, ἤγουν τῷ κηρίῳ, λαμβάνει αὐτὸ ὁ πραιπόσιτος καὶ ἐπιδίδωσι τῷ βασιλεῖ, καὶ λαβὼν αὐτό, αὖθις ὑποστρέφει, ὀψικευόμενος ὑπὸ τῶν ἀρχόντων, καὶ διέρχεται ὄπισθεν αὐτῶν, ὀψικεύων τὰ ἅγια, καὶ διέρχεται διὰ τῆς σωλαίας, καὶ τῶν ἁγίων θυρῶν πλησίον γενόμενος, ἐπιδίδωσι τὸ κηρίον τῷ πραιποσίτῳ, ὁ δὲ πραιπόσιτος τίθησιν αὐτὸ ἐπάνω τῆς σωλαίας, πλησίον τῶν ἁγίων θυρῶν, καὶ πλησίον αὐτοῦ ἑστὼς ὁ βασιλεὺς, ἐκδέχεται ἐκεῖσε, ἕως ἂν διέλθωσι τὰ ἅγια, καὶ προσκυνοῦσιν ἀμφότεροι ἀλλήλους, ὅ,τε βασιλεὺς καὶ ὁ πατριάρχης. ἀπέρχεται πάλιν ὁ βασιλεὺς εἰς τὸ μητατώριον, ἡνίκα δὲ ἐγγίσει ὁ ἀσπασμός, ἐξέρχεται πάλιν, καὶ ἀπελθὼν ἀσπάζεται τὸν πατριάρχην, μητροπολίτας τε καὶ ἐπισκόπους, ἄρχοντάς τε τῆς ἐκκλησίας καὶ κληρικοὺς τοὺς ἐξ

([25]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 125-127.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔθους ἀσπαζομένους τὸν βασιλέα, ὁμοίως καὶ τρία φωτίσματα, καὶ στάντος τοῦ βασιλέως ἐν τῷ τόπῳ, ἐν ᾧ εἴθισται αὐτὸν πάντοτε διδόναι τὴν ἀγάπην τοῖς ἄρχουσιν, εἰσέρχονται οἱ πατρίκιοι στρατηγοί τε καὶ δομέστικοι καὶ οἱ τὰ πρῶτα ὀφφίκια κατέχοντες, οἱ δήμαρχοι καὶ ὁ τῆς καταστάσεως, ἅπαντες δὲ οὗτοι κατὰ τὰς ἰδίας αὐτῶν τάξεις προσκυνοῦντες, ἀσπάζονται καὶ ἵστανται εἰς τὰς ἰδίας αὐτῶν τάξεις τε καὶ στάσεις ἔνθεν κἀκεῖσε, καὶ μετὰ τὸ ἀσπάσασθαι τὸν βασιλέα πάντας τοὺς προῤῥηθέντας προσκυνοῦσιν ἀμφότεροι ἀλλήλους, ὅ,τε βασιλεὺς καὶ ὁ πατριάρχης. πάλιν ἀπέρχεται ὁ βασιλεὺς εἰς τὸ μητατώριον, καὶ τῆς θείας κοινωνίας καταλαβούσης, ὁ τῆς καταστάσεως δηλοῖ τῷ πραιποσίτῳ, καὶ ὁ πραιπόσιτος τῷ βασιλεῖ, καὶ ἐξέρχεται δηριγευόμενος ὑπὸ τῶν προειρημένων, καὶ πλησίον τοῦ πατριάρχου γενόμενος πρὸς τὸ κοινωνῆσαι τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κρατοῦσι δύο ὀστιάριοι δουμνικάλιον ἡπλωμένον, καὶ δεξάμενος τὸ τίμιον δῶρον ἐν ταῖς χερσὶν αὐτοῦ, ἀσπάζεται τὸν πατριάρχην καὶ τὸ πούλπιτον κατελθὼν καὶ σφραγίσας ἐκ τρίτου, κοινωνεῖ τὸ ἅγιον δῶρον. εἶθ' οὕτως ἀνέρχεται τὸ αὐτὸ πούλπιτον, καὶ ὑφαπλοῦσιν οἱ ὀστιάριοι τὸ δουμνικάλιον ὑποκάτω, καὶ λαβὼν τὸ νᾶμα παρὰ τοῦ πατριάρχου, κατέρχεται καὶ εὐξάμενος προσκυνοῦσιν ἀμφότεροι ἀλλήλους, εἶτα ὑποστρέψας εἰσέρχεται εἰς τὸ μητατώριον καὶ κραματίζει μετὰ τῶν πατρικίων καὶ λοιπῶν ἀρχόντων, οὓς ἂν κελεύσῃ. εἶτα περιβάλλεται διὰ τῶν βεστητόρων τὴν χλανίδα αὐτοῦ, καὶ κελεύει τῷ πραιποσίτῳ προσκαλέσασθαι τὸν πατριάρχην, καὶ διέρχεται μετὰ τοῦ βασιλέως ἕως τοῦ ἁγίου φρέατος, κἀκεῖσε στάντος τοῦ βασιλέως, κράζει ὁ ἄργυρος τοὺς εἰωθότας λαμβάνειν τὰ χρυσᾶ βαλαντίδια. ὁ οὖν πραιπόσιτος, λαμβάνων ἐκ τοῦ ἀργύρου τὰ βαλαντίδια, ἐπιδίδωσι τῷ βασιλεῖ, ὁ δὲ βασιλεὺς δίδωσιν, οὓς κράζει ὁ ἄργυρος, καὶ εἰσελθὼν ἔνδον τοῦ βήλου μετὰ τῶν τοῦ κουβουκλείου ἀρχόντων, ἐπιδίδωσι ὁ πραιπόσιτος τὸ στέμμα τῷ πατριάρχῃ, κἀκεῖνος στέφει τὸν βασιλέα, καὶ εἶθ' οὕτως ἐπιδίδωσιν ὁ πατριάρχης εὐλογίας τῷ βασιλεῖ, εἶτα λαβὼν ὁ βασιλεὺς παρὰ τοῦ πραιποσίτου ἀποκόμβιον, ἀντιδίδωσι τῷ πατριάρχῃ, ὁ δὲ πατριάρχης ἀντιδίδωσι τῷ βασιλεῖ ἀλειπτά» ([26]).

Τελετὴ τῷ 1433.—Ὁ Βερτρανδὼν δὲ λὰ Βροκιὲρ ἀφηγεῖται ὅτι ἡμέραν τινά, τῷ 1433, ὁ πατριάρχης ἐτέλει τὴν θείαν λειτουργίαν ἐν τῇ Ἁγίᾳ Σοφίᾳ. «Ὁ δὲ αὐτοκράτωρ», λέγει, «παρίστατο, μετὰ τῆς γυναικὸς αὐτοῦ, τῆς μητρὸς καὶ τοῦ ἀδελφοῦ, δεσπότου τοῦ Μωρέως. Παρέστησαν τότε μυστήριον, οὗτινος ἡ ὑπόθεσις ἦσαν τὰ τρία τέκνα, ἅτινα ὁ Ναβουχοδονόσορ ἔῤῥιψεν εἰς τὴν κάμινον» ([27]).

Πρόβλησις Πατριάρχου.—«Τελευτῶντος τοῦ πατριάρχου», λέγει ὁ Πορφυρογέννητος, «δηλοῖ ὁ βασιλεὺς τοῖς θεοφιλεστάτοις μητροπολίταις ψηφίσασθαι τρεῖς, οἳ καὶ αὐτοῖς δόξουσιν εἶναι ἄξιοι εἰς πατριάρχην. καὶ δὴ τούτων συναθροισθέντων ἐν τοῖς κατηχουμενίοις τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ ψηφισάμενοι οὓς ἂν βουληθῶσι, ἀντιδηλοῦσι τῷ βασιλεῖ τούτους, καὶ κελεύει ὁ βασιλεὺς εἰσελθεῖν τούτους εἰς τὸ παλάτιον» ([28]).

Τῷ 933, τῇ 2ᾳ Φεβρουαρίου, «ἐχειροτονήθη Θεοφύλακτος ὁ θεοφιλέστατος σύγκελλος, ὁ υἱὸς Ῥωμανοῦ δεσπότου, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως. τῇ δὲ αὐτῇ ἡμέρᾳ ἐτελέσθη ἡ ἀκολουθία τῆς προελεύσεως οὕτως. τοῦ παλατίου ἀνοίξαντος διὰ τῆς ἐξόδου τῆς ἐξαγούσης ἐπὶ

([26]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 132-135.

([27]) *Voy. d' Outremer*, ἐν *Mém. de l' Inst. Nat. des Sc. et Arts*, ἐν Παρισίοις, ἔτει ιβ', τ. ε', σ. 560.

([28]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 564.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τοῦ Κυρίου ἐκκλησίαν, καὶ τοῦ κουβουκλείου εἰσελθόντος, κατὰ τὸ εἰωθός, ἐξῆλθον οἱ δεσπόται ἀπὸ σκαραμαγγίων, περιβεβλημένοι καὶ τὰ χρυσοπερίκλειστα τούτων σαγία, καὶ ἀπίασιν, δηριγευόμενοι ὑπό τε τῶν πραιποσίτων καὶ τοῦ κουβουκλείου, διὰ τῆς μανναύρας καὶ τῶν διαβατικῶν εἰς τὰ κατηχούμενα τῆς μεγάλης ἐκκλησίας, καὶ κατὰ τὸ εἰωθὸς διὰ τῆς τρισσῆς μετὰ τῶν κηρῶν προσκυνήσεως τῷ Θεῷ εὐχαριστήσαντες καὶ τὰ τούτων διβητήσια ἀλλάξαντες, ἐκαθέσθησαν. καὶ ὅτε πάντα κατὰ τὴν εἰωθυῖαν ἀκολουθίαν εὐτρεπίσθη, ὑπεμνήσθησαν οἱ δεσπόται, καὶ εὐθέως περιεβάλλοντο τὰς ἑαυτῶν χλαμύδας, καὶ ἐξιόντων αὐτῶν ἔξω τοῦ ἐκεῖσε κρεμαμένου βήλου, ἐδέξαντο τούτους οἵ, τε μάγιστροι καὶ πατρίκιοι. καὶ τῆς εἰωθυίας τάξεως ἐπιτελεσθείσης, κατίεσαν οἱ δεσπόται διὰ τοῦ μεγάλου κοχλιοῦ. ἐν δὲ τῷ νάρθηκι τῆς ἁγιωτάτης ἐκκλησίας εἰς τὴν ὡραίαν πύλην ἐδέξατο τούτους ὁ ὑποψήφιος μετὰ τῆς ἐκκλησιαστικῆς πάσης τάξεως. καὶ δὴ κατὰ τὸν εἰωθότα τύπον εἰσοδεύσαντες, καὶ τῶν ἑξῆς ἐπιτελεσθέντων κατὰ τὰς λοιπὰς προελεύσεις, ἀπήρξαντο οἱ θεοφιλεῖς μητροπολῖται τῆς ἱερᾶς χειροτονίας. οἱ δὲ φιλόχριστοι βασιλεῖς μικρόν τι ὀπισθοπόδησαν μέχρι τοῦ ἀργυροῦ κίονος τοῦ κιβωρίου, ἕως ἐτελέσθη παρὰ τῶν μητροπολιτῶν τὰ τῆς χειροτονίας. καὶ εἶθ' οὕτως διὰ τοῦ δεξιοῦ μέρους τοῦ βήματος καὶ τοῦ κυκλείου εἰσῆλθον ἐν τῷ εὐκτηρίῳ, ἐν ᾧ καὶ ἡ ἀργυρᾶ ἵδρυται σταύρωσις. καὶ διὰ τῆς τρισσῆς μετὰ τῶν κηρῶν προσκυνήσεως ἀπευχαριστήσαντες τῷ Θεῷ καὶ τὸν πατριάρχην ἀποχαιρετίσαντες, ἀνῆλθον διὰ τοῦ κοχλιοῦ τοῦ πρὸς τὸ μέρος τοῦ ἁγίου φρέατος, ἐν τοῖς πρὸς ἀνατολὴν δεξιοῖς μέρεσι τῶν κατηχουμενίων ἐκδεχόμενοι τὴν τοῦ ἁγίου εὐαγγελίου ἀνάγνωσιν» ([29]).

Τὴν τελετὴν δὲ τῆς προβλήσεως ἐπὶ Παλαιολόγων οὕτως ἀφηγεῖται ὁ λεγόμενος Κουροπαλάτης· «Γινομένης ἀναβάθρας διὰ ξύλων εἰς τὴν ἀρχὴν τοῦ τρικλίνου([30]), περισκεπομένης διὰ βλατίου κοκκίνου, ἐφ' ἧς ἵσταται θρόνος βασιλικὸς ὁποῖος ἐν τῇ τοῦ βασιλέως στεφηφορίᾳ εἴρηται, ὁ μὲν τρίκλινός ἐστι διαπεφραγμένος βλατίοις, καθὰ καὶ ἐν τῇ τοῦ δεσπότου προβλήσει δεδήλωται([31]), ὁ δὲ βασιλεὺς τό τε στέμμα καὶ τὰ λοιπὰ φορῶν ἐλθὼν ἐκ τοῦ κελλίου αὐτοῦ καθίζει ἐπὶ τοῦ θρόνου ἐρχόμενος ἐκ τοῦ κελλίου αὐτοῦ, πάντων τῶν ἀρχόντων παρισταμένων ἔξω τοῦ διαφράγματος μετὰ τῶν παρασήμων καὶ φορεμάτων αὐτῶν. καὶ θρόνου ἠρανέου τεθέντος κατὰ τὸ τοῦ τρικλίνου τρίτον μέρος ἀπὸ τοῦ τοίχου πρὸς τὸν βασιλέα, περισκεπομένου διὰ βλατίου χρυσοῦ, ἔρχεται ὁ ὑπόψηφος πατριάρχης (ὑπόψηφος γὰρ μέχρι τότε λέγεται) καὶ καθίζει ἐπ' αὐτοῦ. εἶτα τῶν βλατίων τοῦ διαφράγματος αἰρομένων ἀνίστανται ἀμφότεροι, καὶ πάντες αὐτίκα πολυχρονίζουσι. καὶ μετὰ τοῦτο οὐκ ἀπὸ τῶν ἀξιωμάτων τις, τοῦτ' ἔστιν ἢ δεσπότης ἢ σεβαστοκράτωρ ἢ καῖσαρ, φέρει τὸν ὑπόψηφον (οὐδὲ γὰρ ἐνδημοῦσιν οὗτοι ταῖς τῶν πατριαρχῶν προβλήσεσι τῇ αἰτίᾳ ὅτι τοῦ πατριάρχου καθημένου ἀνοικεῖόν ἐστιν ἵστασθαι τούτους· πάλιν δὲ τῆς τῶν βασιλέων εὐφημίας γινομένης οὐκ ἐφεῖται τούτους καθῆσθαι· διὰ τοῦτο καὶ οὐ πάρεισιν) ἀλλ' ἀπὸ τῶν ἀρχόντων ὁ κρείττων καὶ διαφορώτερος ἐπαίρων διὰ χειρὸς φέρει τοῦτον ἔμπροσθεν τῆς ἀναβάθρας. τοῦ οὖν πατριαρχικοῦ δικανικίου ἐκεῖσε ἐν τῷ ῥηθέντι διαφράγματι εὑρισκομένου, λαβὼν τοῦτο ὁ βασιλεὺς διά τινος τῶν μὴ φορούντων σκιάδια εὐγενῶν, ἱσταμένου καὶ τοῦ βασιλέως καὶ τοῦ υἱοῦ αὐτοῦ, εἰ πάρεστιν ἐκεῖσε, μεγάλῃ φωνῇ λέγει οὕτως „ἡ ἁγία τριὰς διὰ τῆς παρ' αὐτῆς δωρηθείσης ἡμῖν βασιλείας προβάλλεται εἰς ἀρχιεπίσκοπον Κωνσταντινουπό-

([29]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 635-636.
([30]) Τοῦ παλατίου, ὅπου ἦτο ὁ βασιλικὸς θρόνος.
([31]) «Διάφραγμα διὰ βλαττίων χρυσῶν τόν τε θρόνον διαχωρίζον καὶ τὴν παράστασιν».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸν πατριάρχην". καὶ οὕτως αὐτίκα πολυχρονίζουσι πάντες. εἶτα ὁ πατριάρχης ἐπὶ τῆς ἀναβάθρας ἀνελθὼν λαμβάνει τὸ δικανίκιον ἀπὸ τῆς τοῦ βασιλέως χειρός, καὶ εὐλογῶν αὐτὸν εὐθὺς κατέρχεται. καθεσθέντων οὖν ἑκατέρων ἐπὶ τῶν θρόνων αὐτῶν, γίνεται ἡ εὐφημία τῶν βασιλέων καὶ τοῦ πατριάρχου. καὶ μετὰ τὴν εὐφημίαν κλεισθέντος τοῦ διαφράγματος ὁ μὲν βασιλεὺς ἀπέρχεται εἰς τὸ κελλίον αὐτοῦ, ὁ δὲ πατριάρχης ἀπέρχεται ἱππότης εἰς τὴν ἁγίαν Σοφίαν, τοῦ ἵππου αὐτοῦ περισκεπομένου σαγίσματα ἐκ πανίου λευκοῦ μέχρι καὶ κεφαλῆς. συναπέρχονται δὲ καὶ οἱ ἄρχοντες μετ' αὐτοῦ τὰ ἑαυτῶν ἐνδεδυμένοι παράσημα.

Ἰστέον δὲ ὅτι ὑπόψηφος ἔτι ὢν καὶ ἐρχόμενος προβληθῆναι ἔξω τῆς τοῦ παλατίου αὐλῆς πεζεύει, μετὰ δὲ τὴν πρόβλησιν [εἰσέρχεται] ἐντός. σκεπάζουσι δὲ καὶ τὸν ἵππον αὐτοῦ σαγίσματι, καθὼς εἴρηται.

Ἀπελθὼν οὖν εἰς τὴν ἁγίαν Σοφίαν μετὰ τὸ προβληθῆναι, ὡς δεδήλωται, εὐωχεῖται μετὰ τῶν ἀρχιερέων καὶ τῶν ἀρχόντων τῆς ἐκκλησίας. ἐν δὲ τῷ τῆς αὐτοῦ χειροτονίας καιρῷ ἔρχεται μὲν ὁ βασιλεὺς εἰς τὴν ἁγίαν Σοφίαν, τὴν καθ' ἡμέραν συνήθη φέρων στολήν, χειροτονεῖται δὲ ὁ πατριάρχης ὑπὸ τοῦ Ἡρακλείας, ἐπεὶ τῆς Ἡρακλείας ἐπισκοπὴ ἦν τὸ Βυζάντιον» ([32]).

Στέψις Αὐτοκράτορος. — Τὴν ἀρχικὴν τάξιν τῆς μεγαλοπρεπεστάτης ἐκείνης τελετῆς οὕτως ἱστορεῖ ὁ Πορφυρογέννητος· Ἀπὸ τοῦ ὡρολογίου ὁ αὐτοκράτωρ «εἰσέρχεται διὰ τοῦ μεγάλου πυλῶνος ἐπὶ τὸ μέσαυλον, ἐν δὲ τῷ νάρθηκι γίνεται μουτατώριον, καὶ ἀποτίθεται τὸν στέφανον, καὶ πάλιν λαμβάνει αὐτὸν ὁ πραιπόσιτος, καὶ ἐπιδίδωσιν, καὶ ἀποτίθεται αὐτὸν ὁ βασιλεὺς ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ προσφέρει κειμήλια, ἅπερ βουληθείῃ, καί χρυσίον δωρεῖται, (διαφόροις γὰρ οἱ βασιλεῖς δωρεαῖς φαίνονται πρὸς τοῦτο χρησάμενοι) καὶ ἐξέρχεται καὶ ἵσταται ὀλίγον ἐμπρὸς τοῦ καγκέλλου, καὶ μετὰ ταῦτα εἰσέρχεται εἰς τὸ παρατίκλιν, καὶ ἀκούει τοῦ εὐαγγελίου» ([33]).

Οὕτως ὁ ἀναγορευθεὶς Ἀναστάσιος (491-518) «ἀπῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ εἰσῆλθεν διὰ τοῦ νάρθηκος, τὸν στέφανον πρότερον ἀποθέμενος ἐν τῷ μουτατωρίῳ, καὶ λαβὼν αὐτὸν ὁ πραιπόσιτος ἐπέδωκεν αὐτῷ, καὶ ἀπέθετο αὐτὸν ἐν τῷ θυσιαστηρίῳ, καὶ προσήνεγεν ὁ βασιλεὺς τὰ δῶρα, καὶ εἰσελθὼν εἰς τὸ μουτατώριον ἐφόρεσεν τὸν στέφανον καὶ ὑπέστρεψεν, καὶ εἰσελθὼν ἐποίησεν τὴν προαγωγὴν τοῦ ὑπάρχου, καὶ ἔδωκεν μίσσας, καὶ ἔθρεψεν τοὺς ἄρχοντας» ([34]).

Περιττὸν δ' εἰπεῖν ὅτι ἡ τελετὴ αὕτη ἐγένετο ἐν τῷ πρώτῳ ναῷ.

Ἐπὶ Πορφυρογεννήτου ἡ στέψις τοῦ αὐτοκράτορος ἐγίνετο τοιῷδε τῷ τρόπῳ· «Καὶ ὅτε εἰσέλθῃ ὁ βασιλεὺς εἰς τὸ ὡρολόγιον, σηκοῦται τὸ βῆλον, καὶ εἰσέρχεται ἐν τῷ μητατωρίῳ καὶ ἀλλάσσει τὸ διβητήσιον καὶ τὸ τζιτζάκιον, καὶ βάλλει ἐπάνω τὸ σαγίον καὶ εἰσοδεύει μετὰ τοῦ πατριάρχου, καὶ ἅπτει κηροὺς εἰς τὰς ἀργυρᾶς πύλας καὶ εἰσοδεύει ἐν τῷ ναῷ, καὶ εἰσέρχεται εἰς τὴν σωλαίαν καὶ εὔχεται εἰς τὰ ἅγια θυρία, ἅψας κηροὺς, καὶ ἀνέρχεται εἰς τὸν ἄμβωνα ἅμα τοῦ πατριάρχου. καὶ ποιεῖ τὴν εὐχὴν ὁ πατριάρχης ἐπὶ τῆς χλαμύδος, καὶ ὅταν πληρώσῃ τὴν εὐχήν, ἐπαίρουσιν αὐτὴν οἱ τοῦ κουβουκλείου καὶ ἐνδύουσι τῷ δεσπότῃ. καὶ πάλιν ποιεῖ εὐχὴν ἐπὶ τοῦ στέμματος αὐτοῦ, καὶ πληρώσας λαμβάνει αὐτὸς ὁ πατριάρχης τὸ στέμμα, καὶ τίθησιν αὐτὸ εἰς τὴν κεφαλὴν τοῦ δεσπότου, καὶ εὐθέως ἀνακράζει ὁ λαός· „ἅγιος, ἅγιος, ἅγιος, δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη," τρίτον· εἶτα· „ὁ δεῖνα μεγάλου βασιλέως καὶ αὐτοκράτορος

([32]) Ἔκδ. Βόννης, σ. 102 - 104.
([33]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 415.
([34]) *Αὐτόθι*, σ. 425.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλὰ τὰ ἔτη", καὶ τὰ ἑξῆς. καὶ φορῶν τὸ στέμμα, κατέρχεται καὶ ἀπέρχεται ἐν τῷ μητατωρίῳ, καὶ καθέζεται εἰς τὸ σελλίον καὶ εἰσέρχονται τὰ ἀξιώματα, πίπτοντες καὶ φιλοῦντες τὰ δύο γόνατα αὐτοῦ. βῆλον α΄, οἱ μάγιστροι· βῆλον β΄, οἱ πατρίκιοι καὶ στρατηγοί· τρίτον βῆλον, πρωτοσπαθάριοι· τέταρτον, ὁ τοῦ στρατιωτικοῦ, ὁ τῶν ἐξκουβίτων τῶν ἱκανάτων καὶ τῶν νουμέρων, σπαθάριοι, συγκλητικοὶ καὶ ὕπατοι· πέμπτον, σπαθάριοι· ἕκτον, στράτορες· ἕβδομον, κόμητες τῶν σχολῶν· η΄, κανδιδάτοι καβαλλαρικοῦ· θ΄, σκρίβωνες καὶ δομέστικοι· ι΄, ἀσηκρῆται, βεστήτορες καὶ σιλεντιάριοι· ια΄, μανδάτορες βασιλικοὶ καὶ κανδιδάτοι πεζοί· ιβ΄, κόμητες τοῦ ἀριθμοῦ τῶν ἱκανάτων, τριβοῦνοι κόμητες τοῦ πλοΐμου. καὶ λέγει ὁ πραιπόσιτος „κελεύσατε" καὶ ἐπεύχονται τὸ „εἰς πολλοὺς καὶ ἀγαθοὺς χρόνους," καὶ ἐξέρχονται. εἰς δὲ τὴν ἀγάπην καὶ τὴν κοινωνίαν, ὡς ἔχει ἡ συνήθεια τῶν ἑορτῶν, καὶ τὰ λοιπὰ πάντα πληροῦνται, καθὼς ἐστιν ἡ συνήθεια » ([35]).

Ὁ δὲ Καντακουζηνὸς περιγράφει τὴν στέψιν, οἵα ἐξετελεῖτο ἐπὶ τῆς ἐποχῆς αὐτοῦ, ὡς ἑξῆς·

« Ἡ τοιαύτη δὲ βασιλικὴ τελετὴ τοῦτον γίνεται τὸν τρόπον. τῆς προθεσμίας ἐνστάσης, καθ᾽ ἣν ἤδη τέτακται τῷ θείῳ μύρῳ χρίειν τὸν βασιλέα, τοὺς ἐν ἀξιώμασι πάντας καὶ τοὺς ἐν τέλει καὶ τὴν στρατιάν, οὐ μὴν ἀλλὰ καὶ τὸν τῶν ἱερῶν τῆς ἐκκλησίας τῆς νέας ταυτησὶ Ῥώμης οἰάκων ἐπειλημμένον, ἔτι δὲ καὶ πανδημεὶ τὴν πόλιν τοῖς βασιλείοις ἅμα ἕω πάντας παρεῖναι δεῖ. περὶ δὲ δευτέραν ὥραν μάλιστα τῆς αὐτῆς ἡμέρας, τοῦ μέλλοντος χρισθήσεσθαι βασιλέως ἐπὶ ἀσπίδος καθεσθέντος, ὁ βασιλεὺς καὶ πατὴρ τοῦ ἀναγορευομένου, εἴγε περίεστι, καὶ ὁ πατριάρχης τῶν ἐμπροσθίων μερῶν ἐπιλαμβανόμενος τῆς ἀσπίδος, τῶν δ᾽ ἐπιλοίπων οἱ ἐν ἀξιώμασιν ὑπερέχοντες δεσπόται τε καὶ σεβαστοκράτορες, εἴπερ εἰσίν, ἢ οἱ ἐπιφανέστατοι μάλιστα τῶν συγκλητικῶν, καὶ μετεωρίσαντες ὡς ἕνι μάλιστα αὐτόν ἅμα τῇ ἀσπίδι, τοῖς πλήθεσιν ἐπιδεικνύουσι τὸν βασιλέα πάντοθεν περιισταμένοις. ἐπευφημησάντων δὲ αὐτῶν, καταθέντες ἄγουσιν εἰς τὸν ναόν, ἔνθα δεῖ τὴν τελετὴν γενέσθαι. οἰκίσκου δ᾽ ἐν αὐτῷ ξυλίνου τῆς τοιαύτης ἕνεκα χρείας προκατεσκευασμένου, τὸν νέον εἰσάγουσι βασιλέα, καὶ τὴν πορφύραν καὶ τὸ διάδημα ἐνδιδύσκουσι, πρότερον τῶν ἀρχιερέων εὐλογούντων αὐτά. ἐπὶ δὲ τῆς κεφαλῆς οὐ νενομισμένον περιτίθεταί τι, ἀλλ᾽ ἢ στέφανος, ἢ ὅ, τι ἂν ἄλλο δοκῇ. τούτων δὲ γινομένων, ἡ θεία τελεῖται μυσταγωγία. ἐχόμενα δὲ τοῦ εἰρημένου οἰκίσκου καὶ ἀναβάθρα ἐκ ξύλου προκατασκευάζεται καὶ αὐτή, καὶ περιειλοῦσιν αὐτὴν πάντοθεν πέπλοις Σηρικοῖς ἐρυθροῖς· ὑπεράνω δὲ αὐτῆς κατὰ τὸν ἀριθμὸν τῶν βασιλέων τίθενται θρόνοι χρυσοῖ οὐ κατὰ τοὺς εἰωθότας, ἀλλ᾽ ἐπηρμένοι μάλιστα τῷ ὕψει, τέτταρας ἢ καὶ πέντε ἔχοντες ἀναβασμούς, ἐφ᾽ οὕς, ἐξιόντες τοῦ οἰκίσκου, ἀναβαίνοντες καθίζουσιν οἱ βασιλεῖς, ἦν γε μὴ εἷς, ἀλλὰ πλείους ὦσι. συναναβαίνουσαι δὲ αὐτοῖς καὶ αἱ βασιλίδες, καθίζουσιν ἐπὶ θρόνων, αἱ μὲν προεστεμμέναι τὰ στέμματα περικείμεναι, ἡ μέλλουσα δὲ στεφανηφοροῦσα. πρὸ δὲ τῆς τοῦ τρισαγίου θείας ὑμνολογίας ἄνεισιν ἐπὶ τὸν ἄμβωνα ὁ πατριάρχης τῶν ἀδύτων ἐξιών. συνανέρχονται δὲ αὐτῷ καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων οἱ ἐπιφανέστεροι, τὰς ἱερὰς καὶ αὐτοὶ ἐνδεδυμένοι στολάς· οὓς ἀποστέλλων προσκαλεῖται τοὺς βασιλέας. οἱ δ᾽ εὐθύς, ἐξανιστάμενοι τῶν θρόνων, ἐπὶ τὸν ἄμβωνα χωροῦσι. σιωπὴ δὲ βαθεῖα καὶ ἀταραξία τὸ πλῆθος κατέχει πᾶν. ὁ δὲ πατριάρχης τὰς ἐπὶ χρίσει τῶν βασιλέων συντεθειμένας δίεισιν εὐχάς, τὰς μὲν ἡσυχῇ καθ᾽ ἑαυτόν, ἔστι δ᾽ ἃς καὶ εἰς ἐπήκοον πάντων καὶ τῷ χρισθησομένῳ ἐξιλάσκεται τὸ θεῖον. μετὰ τοῦτο δὲ ὁ μέλλων χρισθήσεσθαι βασιλεὺς τὸ ἐπικείμενον, ὅ, τι ἂν ᾖ, τῇ κεφαλῇ ἀφαιρεῖ. νενόμισται δ᾽ αὐτίκα πάντας, ὅσοι πάρεισιν ἐντὸς τοῦ ναοῦ, γυμναῖς καὶ αὐτοὺς ἑστάναι κεφαλαῖς. ὁ πατριάρχης δὲ τῷ

([35]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α΄, σ. 192 - 193.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θείῳ μύρῳ σταυροειδῶς χρίει τὴν βασιλέως κεφαλήν, ἐπιλέγων μεγάλῃ φωνῇ· „ἅγιος". διαδεχόμενοι δὲ οἱ ἐπὶ τοῦ ἄμβωνος ἱστάμενοι τὴν φωνήν, ἐκ τρίτου καὶ αὐτοὶ λέγουσιν· „ἅγιος". ἐφεξῆς δὲ καὶ πᾶν τὸ πλῆθος τὸ αὐτὸ ἐπιφωνοῦσι τοσαυτάκις. μετὰ τοῦτο τῶν ἀδύτων ἐντὸς παρὰ διακόνων τὰς ἱερὰς ἐνδεδυμένων στολὰς κατεχόμενον τὸ στέμμα, (οὐ γὰρ ἐπὶ τῆς ἱερᾶς, ὥς τινές φασι, τραπέζης κεῖται,) ἄγουσιν ἐπὶ τὸν ἄμβωνα. καὶ εἴγε πάρεστι προεστεμμένος βασιλεύς, ἅμα τῷ πατριάρχῃ τὸ στέμμα λαβόντες, ἐπιτιθέασι τῇ κεφαλῇ τοῦ νέου βασιλέως καὶ ἐκφωνεῖ ὁ πατριάρχης· „ἄξιος". διαδεχόμενοι δὲ οἱ ἐπὶ τοῦ ἄμβωνος ἐκ τρίτου λέγουσιν αὐτοί τε καὶ πᾶν τὸ πλῆθος ὃν τρόπον ἐπὶ τοῦ μύρου. εἶτα ἐπιλέγει πάλιν ὁ πατριάρχης εὐχάς, καὶ κατέρχεται τοῦ ἄμβωνος ὁ βασιλεύς, οὐκ ἐξ οὗπερ ἀνῆλθε μέρους, ἀλλ' ἐκ τοῦ πρὸς τὸν σωλέαν τετραμμένου. εἰ μὲν οὖν συμβῇ μὴ κατ' ἐκεῖνον τὸν καιρὸν ἔχειν γυναῖκα τὸν βασιλέα, εὐθὺς ἐπὶ τὴν ἀναβάθραν ἀνιών, ἐπὶ τὸν θρόνον καθίζει πάλιν· εἰ δ' ἔχει, τότε καὶ αὐτὴν ἀνάγκη στεφθῆναι πᾶσα. διὸ καὶ ἐξανισταμένην τοῦ θρόνου, δύο τῶν γνησιωτάτων ἑκατέρωθεν λαβόμενοι συγγενῶν, ἢ εἰ μὴ γνησίους ἔχοι, ἐκτομίαι τοσοῦτοι τῆς ἀναβάθρας τε κατάγουσι καὶ φέροντες ἱστῶσι πρὸ τοῦ σωλέου. κατερχόμενος δὲ ὁ βασιλεύς, τὸ δι' αὐτὴν ηὐτρεπισμένον στέμμα λαμβάνει ὑπὸ γνησίων τινῶν ἢ ἐκτομιῶν κατεχόμενον, καὶ αὐτὸ ἐπιτίθησι τῇ κεφαλῇ τῆς γυναικός· ἡ δὲ τὸν ἄνδρα καὶ βασιλέα προσκυνεῖ, δουλείαν ὁμολογοῦσα. ὁ πατριάρχης δὲ παρὰ τὸν σωλέαν ἱστάμενος καὶ αὐτός, ἐπιλέγει εὐχὴν ὑπέρ τε τοῦ βασιλέως καὶ βασιλίδος καὶ τοῦ ὑπηκόου παντός. οὕτω μὲν οὖν καὶ ὁ βασιλεὺς τὴν ἰδίαν γυναῖκα στέφει. εἰ δὲ συμβῇ προεστεμμένον εἶναι τὸν βασιλέα, ἐπὶ τῆς τῶν γάμων τελετῆς ὁ βασιλεὺς τὴν ἰδίαν ὡσαύτως στέφει γυναῖκα. αὖθις δὲ ἀμφότεροι ἐπὶ τὴν ἀναβάθραν ἀνερχόμενοι, κάθηνται ἐπὶ τῶν θρόνων, τῆς ἄλλης μυσταγωγίας τελουμένης. ᾀδομένου μέντοι τοῦ τρισαγίου ἢ τῶν ἀποστολικῶν γραφῶν ἢ τῶν θείων λογίων ἀναγινωσκομένων, ἀνίστανται καὶ αὐτοί. ἐξ ἑκατέρων δὲ τῶν τοῦ ναοῦ μερῶν ἐπὶ ξυλίνων ἀναβαθρῶν εἰς αὐτὸ τοῦτο πεποιημένων οἱ πρωτοψάλται ἱστάμενοι καὶ δομέστικοι λεγόμενοι, καὶ ἕτεροι τῆς ἐκκλησιαστικῆς τάξεως ἄδειν εἰδότες, οὓς ἐπὶ τῆς τοιαύτης τελετῆς κράκτας ἔθος ὀνομάζειν ἐστί, μέλη τινὰ ᾄδουσιν ἐξεπίτηδες συντεθειμένα ἁρμόζοντα τῇ ἑορτῇ. τῆς μεγάλης δὲ εἰσόδου ἐπὶ τῆς ἱερᾶς μυσταγωγίας λεγομένης ἤδη ἀρχομένης, οἱ τῆς ἐκκλησίας ἐπιφανέστεροι τῶν διακόνων ἐρχόμενοι προσκαλοῦνται τὸν βασιλέα· ὁ δὲ εἰς τὴν λεγομένην πρόθεσιν, ἔνθα τὰ ἅγια κεῖται ἔρχεται μετ' αὐτῶν. ἔξω δὲ ἱστάμενος τῆς προθέσεως, περιβάλλεται μανδύαν χρυσοῦν ἐπὶ τὸ διάδημα καὶ τὴν πορφύραν. καὶ τῇ μὲν δεξιᾷ χειρὶ κατέχει σταυρόν, ὃν ἔθος κατέχειν ὅσον ἂν χρόνον τὸ στέμμα φορῇ, τῇ δὲ λαιᾷ νάρθηκα φέροντες ἐγχειρίζουσιν, ὥστε τάξιν ἐκκλησιαστικὴν τὴν τοῦ δεποτάτου λεγομένου ἔχειν· ἃ ἀμφοτέραις ἔχων, τῆς εἰσόδου πάσης ἡγεῖται τῆς ἱερᾶς. ἐξ ἑκατέρων δὲ αὐτοῦ μερῶν κατὰ τὰ πλάγια οἵ τε τοὺς πελέκεις ἔχοντες Βάραγγοι προσαγορευόμενοι, καὶ νέοι τῶν εὐπατριδῶν περὶ ἑκατὸν ὡπλισμένοι διαπρεπῶς παρέπονται ἢ καὶ ἄνοπλοι· κατ' εὐθεῖαν δὲ μετ' αὐτὸν οἵ τε διάκονοι ἐφεξῆς ἕπονται καὶ οἱ ἱερεῖς ἔπιπλά τε καὶ σκεύη τῶν ἱερῶν καὶ αὐτὰ τὰ ἁγιώτατα ἐπιφερόμενοι. τὸν δὲ ναὸν περιελθόντες κατὰ τὸ ἔθος ἐπειδὰν γένοιντο ἐν τῷ σωλέᾳ, οἱ μὲν ἄλλοι πάντες ἑστᾶσιν ἐκτός, αὐτὸς δὲ μόνος εἰσερχόμενος τὸν σωλέαν, τὸν πατριάρχην ἐπὶ ταῖς ἱεραῖς κιγκλίσιν ἑστηκότα εὑρίσκει. προσαγορεύσαντες δὲ ἀλλήλους, ὁ πατριάρχης μὲν ἐσωτέρω, ἔξω δ' ὁ βασιλεὺς περιμένουσιν ἑστῶτες· εὐθὺς δὲ ὁ μετὰ τὸν βασιλέα τῶν ἄλλων ἡγούμενος διακόνων, τῇ δεξιᾷ μὲν κατέχων θυμιατόν, τῇ δ' ἑτέρᾳ τὸ τοῦ πατριάρχου λεγόμενον μαφόριον, τὸν βασιλέα παριὼν θυμιᾷ· κλίναντος δὲ αὐτοῦ τὴν κεφαλήν, ὁ διάκονος εἰς ἐπήκοον πάντων „μνησθείη κύριος ὁ Θεός", λέγει, „τοῦ κράτους τῆς βασιλείας ὑμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων", ἐπιλέγων καὶ τὸ „ἀμήν". ἐφεξῆς δὲ καὶ οἱ λοιποὶ διάκονοι παριόντες καὶ ἱερεῖς λέγουσι τὸ αὐτό. τούτου δὲ τελεσθέντος, ὁ βασιλεὺς τὸν πατριάρχην προσαγορεύσας, ἀποδύεται τὸν μανδύαν. καὶ τὸν μὲν ὁ τῆς ἐκκλησίας ῥεφερενδάριος ἀποφέρεται, (οὕτω γὰρ ἔθος) ὁ βασιλεὺς δ' ἐπὶ τὴν ἀναβάθραν ἀνερχόμενος, ἐπὶ τοῦ θρόνου κάθηται πάλιν, τοῦ συμβόλου τῆς πίστεως τῆς τε προσευχῆς τοῦ „Πάτερ ἡμῶν" λεγομένων, καὶ τῆς ὑψώσεως γινομένης τοῦ δεσποτικοῦ καὶ ἁγίου σώματος, ἀνιστάμενος. τῆς ὑψώσεως δὲ τελεσθείσης, εἰ μὲν ἀνεπιτηδείως πρὸς τὴν τῶν ἁγιασμάτων κοινωνίαν ὁ βασιλεὺς ἔχει, μέχρι συμπληρώσεως τῆς θείας μυσταγωγίας κάθηται ἐπὶ τοῦ θρόνου· εἰ δὲ παρεσκεύασται πρὸς τοῦτο, πάλιν αὐτὸν οἱ διάκονοι ἐρχόμενοι προσκαλοῦνται. καὶ μετ' αὐτῶν εὐθὺς εἴσεισιν εἰς τὰ ἄδυτα, καὶ θυμιατοῦ αὐτῷ διδομένου, τὴν ἱερὰν τράπεζαν πρῶτον μὲν κατὰ ἀνατολὰς θυμιᾷ, εἶτα πρὸς ἄρκτον καὶ μετὰ τοῦτο πρὸς ἑσπέραν καὶ τέταρτον πρὸς μεσημβρίαν βλέπων· πάλιν δὲ πρὸς ἀνατολὰς θυμιάσας, θυμιᾷ καὶ τὸν πατριάρχην· προσαγορεύσας δὲ αὐτὸν ὁ πατριάρχης καὶ τῆς χειρὸς αὐτοῦ λαβὼν τὸν θυμιατόν, ἀντιθυμιᾷ καὶ αὐτὸν αὐτός. μετὰ δὲ τοῦτο τὸ στέμμα τῆς κεφαλῆς περιελόμενος ὁ βασιλεύς, ἐγχειρίζει τοῖς διακόνοις. ὁ δὲ πατριάρχης εἰς τὰς χεῖρας αὐτῷ τοῦ δεσποτικοῦ σώματος ἐπιδίδωσι μερίδα· μετασχὼν δὲ αὐτῆς, καὶ τοῦ ζωοποιοῦ αἵματος κοινωνεῖ, οὐ λαβίδι, καθάπερ οἱ πολλοί, ἀλλ' αὐτῷ κρατῆρι τὸν τῶν ἱερωμένων τρόπον. τό, τε στέμμα περιθέμενος αὖθις, ἔξεισι τῶν ἀδύτων. τελεσθείσης δὲ τῆς μυσταγωγίας, τοῦ διαδιδομένου τοῖς πλήθεσιν ἁγιάσματος αὖθις μετασχών, καὶ παρὰ τοῦ πατριάρχου καὶ τῶν παρόντων ἀρχιερέων εὐλογηθείς, καὶ περιπτυξάμενος αὐτῶν τὰς χεῖρας, ἄνεισιν εἰς τὰ λεγόμενα κατηχούμενα, ὡς ἂν ἐξ ἀπόπτου παρὰ πάντων ὁρώμενος εὐφημηθείη. τελεσθέντος δὲ καὶ τούτου, κατελθὼν ἐκεῖθεν αὐτὸς καὶ ἡ βασιλὶς μόνοι, τῶν ἄλλων ἁπάντων ἑπομένων πεζῇ, ἔφιπποι χωροῦσι πρὸς τὰ βασίλεια. τραπέζης δὲ ἡτοιμασμένης ἐκεῖ στεφηφοροῦντες καθήμενοι εὐωχοῦνται» ([36]).

Γέννησις βασιλόπαιδος. — Κατὰ τὸν Πορφυρογέννητον, τεχθέντος ἄῤῥενος τῷ βασιλεῖ, «γέγονεν πρόκενσον ἐν τῇ μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ κατὰ τὸν τύπον τῶν μεγάλων προελεύσεων» ([37]).

Τὴν δὲ βάπτισιν τῶν βασιλοπαίδων περιεγράψαμεν ἐν τοῖς ἀνωτέρω ([38]).

Προσφοραὶ Αὐτοκράτορος. — Λέγει πάλιν ὁ Πορφυρογέννητος· «Ἰστέον, ὅτι τῇ ἡμέρᾳ τῶν φώτων τοῦ βασιλέως Μιχαὴλ προσφέροντος τῇ ἐκκλησίᾳ ποτήριον χρυσοῦν ἐκ λίθων τιμίων καὶ μαργάρων ἠμφιεσμένον, τὸ μὲν ποτήριον προστάξει τοῦ βασιλέως Μιχαὴλ σπαθάριος καὶ χρυσοεψητὴς ἐβάσταζε, τὸ δὲ ποτηροκάλυμμα σιλεντιάριος, περιπατοῦντες ἀναμεταξὺ τῶν δύο μαγίστρων. καὶ τῶν ἁγίων θυρῶν πλησίον γενόμενος ὁ βασιλεὺς ἦρεν τὸ ποτήριον, καὶ εἰσελθὼν εἰς τὸ θυσιαστήριον τέθεικεν αὐτὸ εἰς τὴν ἁγίαν τράπεζαν. ὁ δὲ πατριάρχης λαβὼν τὸ ποτηροκάλυμμα ἀπὸ τοῦ σιλεντιαρίου ἐπέδωκεν αὐτὸ τῷ βασιλεῖ. ὁ δὲ βασιλεὺς ἐπέθηκεν αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ» ([39]).

Θριάμβων καταγωγαί. — Ὁ νικητὴς αὐτοκράτωρ εἰσήρχετο εἰς τὴν ΚΠ. διὰ τῆς χρυσῆς πύλης, καὶ ἐν τῷ ἁγίῳ φρέατι ἐδέχετο αὐτὸν ὁ πατριάρχης, ὅστις «σὺν πάσῃ τῇ ἐκκλησιαστικῇ

([36]) *Ἱστοριῶν Βιβλία Δ'*, ἔκδ. Βόννης, τ. α', σ. 196 - 202. Ὁμοία ταύτῃ καὶ ἡ περιγραφὴ τοῦ δῆθεν Κουροπαλάτου (ἔκδ. Βόννης, σ. 89 - 97).

([37]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 617.

([38]) Ἴδε Α' τόμον, σ. 127.

([39]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 631.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταστάσει», λέγει ὁ Πορφυρογέννητος, «.... θυμιᾷ τὸν βασιλέα, καὶ ἀσπάζονται ἀλλήλους. εἶτα εἰσέρχεται ὁ βασιλεὺς σὺν τῷ πατριάρχῃ ἐν τῷ θείῳ βήματι, καὶ θυμιᾷ πέριξ τῆς ἁγίας τραπέζης. ὁ δὲ διάκονος ποιεῖ εὐχὴν συναπτήν. οἱ δὲ ψάλται ἄνωθεν ἐν τῷ ἄμβωνι ψάλλουσιν θεοτόκια πρόσφορα καὶ τῇ ὑποθέσει τῶν ἐπινικίων ἁρμόζοντα, οἷον τὸ „προστασία φοβερά", καὶ τὸ „ἐπὶ σοὶ χαίρει", καὶ τὸ „τοῖχος ἀκαταμάχητον", καὶ τὸ „τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια" καὶ τὰ τούτοις ὅμοια. πολλάκις δὲ καί, εἰ νέα τύχῃ γενέσθαι τροπάρια τῇ ὑποθέσει ἁρμόζοντα, ψάλλουσιν καὶ αὐτὰ ὁμοίως» ([40]).

([40]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α', σ. 608 - 609.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΡΑΡΤΗΜΑ

ΧΡΟΝΟΓΡΑΦΙΑ

ΤΗΣ

ΑΓΙΑΣ ΣΟΦΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΡΑΡΤΗΜΑ

ΧΡΟΝΟΓΡΑΦΙΑ

ΤΗΣ

ΑΓΙΑΣ ΣΟΦΙΑΣ

Ἐν τέλει τῆς προηγουμένης περιγραφῆς ἐθεώρησα πρέπον ὅπως παραθέσω χρονολογικὸν πίνακα τῶν κυριωτέρων συμβάντων, τῶν μετὰ τῆς ἱστορίας τοῦ περιφανοῦς τεμένους συνδεομένων. Ὡς βάσιν δὲ τοῦ ἐν λόγῳ πίνακος τούτου μετεχειρίσθην τὸ ἔξοχον ἔργον τοῦ Μυράλτου (1).

315 ± (2). Μητροφάνης ὁ Α΄ προβάλλεται Πατριάρχης Βυζαντίου. — Ὁ ἱεράρχης οὗτος ποιμαίνει τὴν Ἐκκλησίαν ἐπὶ δεκαετίαν καὶ εἶνε ὁ πρῶτος τῆς βασιλευούσης πατριάρχης.

323. Κωνσταντῖνος ὁ Μέγας κυριεύει τὸ Βυζάντιον.

325. Ἡ Αὐγοῦστα Ἑλένη ἀνακαλύπτει τὸ Τίμιον τοῦ Σταυροῦ Ξύλον. — Ὁ Σωκράτης λέγει ὅτι ἡ τοῦ βασιλέως μήτηρ «τὸ τοῦ Χριστοῦ μνῆμα ἔνθα ταφεὶς ἀνέστη, σπουδαίως ἐζήτει. καὶ δυσχερῶς μέν, σὺν Θεῷ, εὑρίσκει» (3). Μετὰ μικρὸν δὲ «τρεῖς εὑρίσκει σταυροὺς ἐν τῷ μνήματι· ἕνα μὲν τὸν μακαριστόν, ἐν ᾧ Χριστὸς ἐξετανύσθη· τοὺς δὲ ἑτέρους ἐν οἷς οἱ συσταυρωθέντες δύο λῃσταὶ τεθνήκεσαν. σὺν αὐτοῖς δὲ εὕρητο καὶ ἡ τοῦ Πιλάτου σανίς, ἐν ᾗ βασιλέα τῶν Ἰουδαίων τὸν σταυρωθέντα Χριστὸν προσγράφων, ἐν διαφόροις γράμμασι ἐκήρυττεν» (4). «Τοῦ δὲ σταυροῦ», ἐξακολουθεῖ ὁ Σωκράτης, «μέρος μέν τι θήκῃ ἀργυρᾷ περικλείσασα, ... αὐτόθι κατέλιπε· τὸ δὲ ἕτερον μέρος ἀποστέλλει τῷ βασιλεῖ» (5).

325. Πρώτη Οἰκουμενικὴ Σύνοδος ἐν Νικαίᾳ. — Ὁ Ζωναρᾶς τάδε λέγει περὶ Κωνσταντίνου· «Ὁ εὐσεβέστατος βασιλεὺς ἐκεῖνος ἐν Νικαίᾳ τῇ Βιθυνῶν συνελθεῖν τοὺς τῶν ἐπαρχιῶν ἐπισκόπους ἐκέλευσε, καὶ ἀθροισθέντων τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, ἐν οἷς ἦσαν καὶ ἱερεῖς τινες καὶ διάκονοι, ἀλλὰ μέντοι καὶ μοναχοί, ὅτε καὶ ὁ μέγας Ἀθανάσιος ἐκεῖ παρῆν,

---

(1) *Essai de Chronographie byzantine*, τ. α΄, ἐν Πετρουπόλει, 1855, τ. β΄, ἐν Βασιλείᾳ, 1871.

(2) Ἐν ταῖς χρονολογίαις τῶν πρώτων πατριαρχῶν ἄχρι τοῦ Χρυσοστόμου ἀκολουθῶ τὸν κ. Γεδεών (*Πατριαρχικοὶ Πίνακες*, ἐν ΚΠ., 1887 ±).

(3) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνῃ *P. G.*, τ. 67, σ. 117.

(4) *Αὐτόθι*, σ. 117.

(5) *Αὐτόθι*, σ. 120.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ τῶν διακόνων ἔτι κατειλεγμένος ὢν τάγματι, καὶ αὐτὸς ὁ χριστιανικώτατος βασιλεὺς ἀφίκετο πρὸς τὴν Νίκαιαν, καὶ συγκαθίσας τοῖς ἱεροῖς πατράσιν ἐκείνοις ἐπέτρεπε ζητῆσαι τὰ παρὰ τοῦ Ἀρείου λεγόμενα καὶ διαγνῶναι εἴ τι τῆς ὀρθῆς ἐκκλίνουσι δόξης. οἱ δὲ ζητήσαντες καὶ ἀκριβῶς ἐξετάσαντες τὸν μὲν Υἱὸν ὁμοούσιον καὶ ὁμότιμον καὶ συναΐδιον ἐδογμάτισαν τῷ Πατρί, τὸν Ἄρειον δὲ καὶ τοὺς ἐκείνῳ ὁμόφρονας τῆς τῶν ὀρθοδόξων ὁμηγύρεως ἐξεκήρυξαν» ([6]).

325 ±. Ἀλέξανδρος χειροτονεῖται Πατριάρχης.

326. Ἔναρξις τῆς κτίσεως Κωνσταντινουπόλεως. — Κατὰ τὸν Ζωναρᾶν, ὁ Κωνσταντῖνος «ἐν Χαλκηδόνι τὴν πόλιν ἤρξατο ἀνιστᾶν. λέγεται δὲ καθίπτασθαι ἀετοὺς καὶ τὰ τῶν οἰκοδόμων ἁρπάζειν σπαρτία· τὸν μεταξὺ δὲ διιπταμένους ποθμὸν ῥίπτειν αὐτὰ κατὰ τὸ Βυζάντιον. τοῦτο γοῦν πολλάκις γενόμενον ἀπηγγέλη τῷ βασιλεῖ, καὶ οὐκ ἐδόκει τυχαίως γίνεσθαι τὸ γινόμενον, ἀλλά τι διὰ τούτου τὸ θεῖον παραδηλοῦν. ἐφίσταται γοῦν αὐτὸς τῷ Βυζαντίῳ ὁ αὐτοκράτωρ, τὸν τόπον κατασκοπῶν ἀρέσκεται, μετατίθησι τὸν σκοπόν, μετάγει τοὺς τεχνίτας ἐκ Χαλκηδόνος ἐκεῖ, τὴν πόλιν φιλοτίμως οἰκοδομεῖ, Κωνσταντινούπολιν αὐτὴν ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ καλεῖ, καὶ ἀνατίθησιν αὐτὴν τῇ Παρθένῳ καὶ Θεομήτορι» ([7]).

326. Ὁ Κωνσταντῖνος κρύπτει μέρος τοῦ Τιμίου Ξύλου ἐν τῷ Πορφυρῷ αὐτοῦ Κίονι. — Ὁ Σωκράτης ἀναφέρει ὅτι τὸ τεμάχιον τοῦ σταυροῦ ὅπερ ἐστάλη εἰς Βυζάντιον ὁ Κωνσταντῖνος «δεξάμενος, καὶ πιστεύσας τελείως σωθήσεσθαι τὴν πόλιν ἔνθα ἂν ἐκεῖνο φυλάττηται, τῷ ἑαυτοῦ ἀνδριάντι κατέκρυψεν, ὃς ἐν τῇ κατὰ Κωνσταντίνου πόλιν, ἐν τῇ ἐπιλεγομένῃ ἀγορᾷ Κωνσταντίνου, ἐπὶ τοῦ πορφυροῦ καὶ μεγάλου κίονος ἵδρυται» ([8]).

330, Μαΐου 11. Ἐγκαίνια τῆς Κωνσταντινουπόλεως. — «Ἤδη δὲ ἀπαρτισθείσης τῆς πόλεως», λέγει ὁ Ζωναρᾶς, «κατὰ τὴν ἑνδεκάτην τοῦ Μαΐου μηνὸς τελεῖ τὰ ταύτης γενέθλια εἴτουν ἐγκαίνια, ἔτους ἐνισταμένου πεντακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ὀγδόου» ([9]).

337, Μαΐου 22. Θάνατος τοῦ Κωνσταντίνου. — Ὁ αὐτοκράτωρ ἀφίνει τῷ υἱῷ Κωνσταντίῳ «ἐνδιάθηκον ἐντολήν» ([10]), ὡς λέγει ὁ Κεδρηνός, τοῦ ἐγείρειν Μεγάλην Ἐκκλησίαν τῷ Χριστῷ.

337. Κωνστάντιος, ἢ Κωνσταντῖνος ὁ Β΄, ἀναγορεύεται Αὐτοκράτωρ.

340 ±. Παῦλος ὁ Α΄, ὁ Ὁμολογητής, χειροτονεῖται Πατριάρχης ΚΠ.—Μετ' ὀλίγον ὅμως ἐξορίζει αὐτὸν ὁ Κωνστάντιος.

341 ±. Εὐσέβιος χειροτονεῖται Πατριάρχης ΚΠ.

342 ±. Παῦλος ὁ Α΄ ἀνέρχεται τὸ β΄ τὸν Οἰκουμενικὸν Θρόνον.

342 ±. Μακεδόνιος ὁ Α΄, ὁ Πνευματομάχος, χειροτονεῖται Πατριάρχης ΚΠ.

348 ±. Παῦλος ὁ Α΄ ἀνέρχεται τὸ γ΄ τὸν Οἰκουμενικὸν Θρόνον.

350 ±. Μακεδόνιος ὁ Α΄ ἀνέρχεται τὸ β΄ τὸν Οἰκουμενικὸν Θρόνον.

360. Εὐδόξιος ὁ Ἀρειανὸς χειροτονεῖται Πατριάρχης ΚΠ.

360, Φεβρουαρίου 15. Ἐγκαίνια τῆς Μεγάλης Ἐκκλησίας.— Κατὰ τὸ *Πασχάλιον Χρο-*

([6]) *Ἐπιτ. Ἱστορ.*, ἔκδ. Δίνδορφ, τ. γ΄, σ. 184.
([7]) *Αὐτόθι*, τ. γ΄, σ. 180.
([8]) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνη *P. G.*, τ. 67, σ. 120.
([9]) *Ἐπιτ. Ἱστορ.*, ἔκδ. Δίνδορφ. τ. γ΄, σ. 180.
([10]) *Σύν. Ἱστορ.*, ἔκδ. Βόννης, τ. α΄, σ. 523.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νικόν, «τούτῳ τῷ ἔτει, μηνὶ περιτίῳ ιε΄, καθιερώθη ἡ μεγάλη ἐκκλησία Κωνσταντινουπόλεως» (11). Προσθέτει δὲ τὸ *Χρονικὸν* ὅτι «εἰς τὰ ἐγκαίνια προσήγαγεν ὁ βασιλεὺς Κωνστάντιος αὔγουστος ἀναθέματα πολλά, κειμήλια χρυσᾶ καὶ ἀργυρᾶ μεγάλα καὶ διάλιθα χρυσυφῆ ἁπλώματα τοῦ ἁγίου θυσιαστηρίου πολλά. ἔτι μὴν καὶ εἰς τὰς θύρας τῆς ἐκκλησίας ἀμφίθυρα χρυσᾶ διάφορα καὶ εἰς τοὺς πυλεῶνας τοὺς ἔξω χρυσυφῆ ποικίλα· ὡς πολλὰς δωρεὰς ἐχαρίσατο φιλοτίμως τότε παντὶ κλήρῳ καὶ τῷ κανόνι τῶν παρθένων καὶ τῶν χηρῶν καὶ τοῖς ξενοδοχείοις. καὶ εἰς διατροφὴν τῶν προειρημένων καὶ τῶν πτωχῶν καὶ ὀρφανῶν καὶ φυλακῶν σιτομέτριον προσέθηκεν πλείονος μέτρῳ οὗπερ ὁ πατὴρ αὐτοῦ Κωνσταντῖνος ἐχαρίσατο» (12). «Καὶ τὰ λείψανα», λέγει ὁ Κεδρηνός, «ἀπὸ Ἀντιοχείας κομίζει καὶ ἐν αὐτῷ κατατίθησι τοῦ ἁγίου μάρτυρος Παμφίλου καὶ τῶν σὺν αὐτῷ, Θεοδούλου Πορφυρίου καὶ Παύλου» (13).

Τὴν πρώτην ταύτην ἐκκλησίαν «ξυλότρουλον καὶ δρομικὴν» (14) ἀποκαλεῖ ὁ Γλυκᾶς.

360. Φεβρουάριος. Παραδοξολογίαι τοῦ Εὐδοξίου ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ. — Ὁ Σωζωμενὸς διηγεῖται ὅτι ὁ Ἀρειανὸς πατριάρχης «τὸ πρῶτον ἐκκλησιάζων ἐπὶ τῇ τελεσιουργίᾳ τῆς μεγάλης ἐκκλησίας, ἣν Σοφίαν ὀνομάζουσι, λέγεται ἐπὶ τὸ τοῦ ἱερέως ἀναβὰς βῆμα, οἷα δὴ τὸν λαὸν διδάσκων, ἀρχόμενος τοῦ λόγου εἰπεῖν· ὡς „ὁ μὲν Πατὴρ ἀσεβής· ὁ δὲ Υἱὸς εὐσεβής". Θορυβήσαντος δὲ τοῦ πλήθους, „Ἠρεμεῖτε", ἔφη· „ὁ μὲν Πατὴρ ἀσεβής, ὅτι οὐδένα σέβει· ὁ δὲ Υἱὸς εὐσεβής, ὅτι Πατέρα σέβει". καὶ ὁ μὲν ὧδε εἰπών, εἰς γέλωτα τοὺς ἀκούοντας μετέβαλε» (15).

361. Ἰουλιανὸς ὁ Παραβάτης ἀναγορεύεται Αὐτοκράτωρ.

363, Ἰουνίου 27. Ἰωβιανὸς ἀναγορεύεται Αὐτοκράτωρ.

364, Φεβρουαρίου 16. Οὐαλεντινιανὸς ἀναγορεύεται Αὐτοκράτωρ.

364, Μάρτιος. Ὁ Οὐάλης προσλαμβάνεται συγκοινωνὸς τῆς αὐτοκρατορίας. — Αὕτη διαμερίζεται, τοῦ μὲν Οὐαλεντινιανοῦ λαβόντος τὴν Δύσιν, τοῦ δὲ Οὐάλεντος τὴν Ἀνατολήν.

366. Σεισμός. — «Σεισμὸς δὲ γέγονε», λέγει ὁ Θεοφάνης, «μέγας καθ' ὅλην τὴν γῆν» (16).

369. Διχασμὸς τοῦ ἐν ΚΠ. Χριστιανισμοῦ. — Ἀντὶ ἑνὸς πατριάρχου ἐκλέγονται δύο.

369. Εὐάγριος χειροτονεῖται Πατριάρχης ὑπὸ τῶν Ὀρθοδόξων, Δημόφιλος δὲ ὑπὸ τῶν Ἀρειανῶν.

379, Ἰανουαρίου 19. Θεοδόσιος ὁ Α΄, ἢ ὁ Μέγας, ἀναγορεύεται Αὐτοκράτωρ.

379. Ὁ Θεοδόσιος ἐκδιώκει τὸν τῶν Ἀρειανῶν Πατριάρχην. — «Ὁ μέντοι βασιλεὺς ἐν τοιαύτῃ καταστάσει τὴν ἐκκλησίαν εὑρών», λέγει ὁ Σωκράτης, «φροντίδα ἐτίθετο, ὅπως οὖν εἰρήνην ποιήσας, ὁμόνοιαν κατεργάσηται, καὶ τὰς ἐκκλησίας αὔξήσειε. δηλοῖ οὖν εὐθὺς τῷ Δημοφίλῳ, ὃς τῆς ἀρειανῆς θρησκείας προειστήκει, εἰ βούλοιτο πιστεύειν τῇ κατὰ Νίκαιαν συνόδῳ, ἑνοῦν τε τὸν λαὸν καὶ τὴν εἰρήνην ἀσπάζεσθαι. τοῦ δὲ φυγόντος τὴν πρότασιν· „Οὐκοῦν", ἔφη ὁ βασιλεύς, „εἰ τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν φεύγεις, φεύγειν σε καὶ τῶν εὐκτηρίων τόπων κελεύω"» (17). Καὶ ὁ Δημόφιλος ἔφυγεν.

---

(11) Ἔκδ. Βόννης, τ. α΄, σ. 543.
(12) *Αὐτόθι*, τ. α΄, σ. 544-545.
(13) *Σύν. Ἱστορ.*, ἔκδ. Βόννης, τ. α΄, σ. 523.
(14) *Βίβλ. Χρον.*, ἔκδ. Βόννης, σ. 495.
(15) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνη *P. G.*, τ. 67, σ. 1197.
(16) *Χρονογρ.*, ἔκδ. Βόννης, τ. α΄, σ. 87.
(17) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνη *P. G.*, τ. 67, σ. 573.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

379. Γρηγόριος ὁ Α΄, ἢ ὁ Μέγας, ὁ Θεολόγος, χειροτονεῖται Πατριάρχης ΚΠ.

381. Δευτέρα Οἰκουμενικὴ Σύνοδος ἐν ΚΠ. — Ἐν αὐτῇ παρευρέθησαν ἑκατὸν πεντήκοντα πατέρες.

381. Νεκτάριος χειροτονεῖται Πατριάρχης ΚΠ.

395. Ἀρκάδιος ἀναγορεύεται Αὐτοκράτωρ τῆς Ἀνατολῆς.

396. Σεισμός. —Κατὰ τὸν Γλυκᾶν, «ἡ γῆ ἐμυκήσατο ἡμέρας ζ΄ καὶ σεισμὸς γέγονε μέγας τε καὶ παγκόσμιος» ([18]).

397, Σεπτεμβρίου 27. Ἀρχὴ πενταμήνου χηρείας τῆς Ἐκκλησίας.

398, Φεβρουαρίου 26. Ἰωάννης ὁ Α΄, ὁ Χρυσόστομος, χειροτονεῖται Πατριάρχης ΚΠ.

399. Ὁ Εὐτρόπιος προσφεύγει εἰς τὸ Θυσιαστήριον. — Κατὰ τὸν Σωκράτην, «προσκρούσας τῷ βασιλεῖ ὁ Εὐτρόπιος ἐν τοῖς πρόσφυξιν ἦν. ὁ οὖν ἐπίσκοπος τοῦ Εὐτροπίου ὑπὸ τὸ θυσιαστήριον κειμένου, καὶ ἐκπεπληγότος ὑπὸ τοῦ φόβου, καθεσθεὶς ἐπὶ τοῦ ἄμβωνος, ὅθεν εἰώθει καὶ πρότερον ὁμιλεῖν χάριν τοῦ ἐξακούεσθαι, λόγον ἐλεγκτικὸν ἐξέτεινε κατ᾽ αὐτοῦ» ([19]). Καὶ μετὰ μικρὸν ὁ αὐτοκράτωρ τοῦ Εὐτροπίου «τὴν κεφαλὴν ἀποτμηθῆναι ἐκέλευσεν» ([20]).

402. Σεισμὸς ἐν ΚΠ. — Οὗτος φαίνεται ὅτι ἦτο σφοδρός.

402 ±. Ὁ Χρυσόστομος καλύπτει τὰ Ὑπερῷα διὰ παραπετασμάτων.— Συμεὼν ὁ Μεταφραστὴς ἀφηγεῖται τάδε· «Λέγεται γάρ, ... ὁσάκις ἂν τὸν θεῖον ἄρτον ἱερουργῶν ἀναφέροι, ἔνθουν ὅλον γινόμενον, συμβόλοις τισὶ τὸ τοῦ Θεοῦ ἅγιον Πνεῦμα ἐπὶ τὰ προκείμενα δῶρα καταβαῖνον ὁρᾶν. ἑνὸς γοῦν ποτε τῶν παρισταμένων αὐτῷ λειτουργῶν γυναίῳ τινὶ τῶν διακυπτουσῶν ἄνωθεν προσχόντος τὸν ὀφθαλμὸν καὶ περιέργως αὐτὴν προσβλέποντος, διακρουσθῆναι μὲν οὕτω τὴν θεωρίαν τοῦ Πνεύματος· ἐκεῖνον δὲ μὴ ἀγνοῆσαι, ἀλλὰ τὸν μὲν λειτουργὸν αὐτίκα μετακινῆσαι τῆς στάσεως, αὐτὸν δὲ τῆς συνήθους ὄψεως μὴ διαμαρτυρεῖν· εἶτα πρόνοιαν καὶ τοῦ μέλλοντος θέμενον, παραπετάσμασιν ἐπιτρέψαι τὰ ὑπερῷα διατειχίζεσθαι» ([21]).

403. Διαφωνία Χρυσοστόμου καὶ Εὐδοξίας. — «Τῆς αὐγούστης Εὐδοξίας», λέγει ὁ Σωκράτης, «ἀνδριὰς ἀνέστη ἀργυροῦς ἐπὶ κίονος πορφυροῦ, χλανίδα ἐνδεδυμένος. ἕστηκε δὲ οὗτος ἐπὶ βήματος ὑψηλοῦ, οὔτε ἐγγὺς οὐδὲ πόῤῥω τῆς ἐκκλησίας, ᾗ ἐπώνυμον Σοφία· ἀλλὰ διείργει ἄμφω μέση πλατείας ὁδός. ἐπὶ τοῦτο συνήθως δημώδεις ἤγοντο παιδιαί. Ἰωάννης δὲ ὕβριν τὰ γινόμενα τῆς ἐκκλησίας νομίζων, τῇ συνηθείᾳ τε παῤῥησίαν ἀνακτησάμενος πάλιν, τὴν ἑαυτοῦ γλῶτταν κατὰ τῶν ταῦτα ποιούντων ἐξώπλιζε. καὶ δέον τοὺς κρατοῦντας λόγῳ παρακλητικῷ πείθειν παῦσαι τῆς παιδιᾶς· ὁ δὲ τοῦτο μὲν οὐκ ἐποίει· καταφορικῇ δὲ τῇ γλώσσῃ χρησάμενος, ἔσκωπτε τοὺς γενέσθαι ταῦτα κελεύσαντας. ἡ δὲ βασίλισσα πάλιν εἰς ἑαυτὴν εἶλκε τὰ γενόμενα· καὶ ὕβριν ἑαυτῆς τοὺς ἐκείνου λόγους νομίζουσα, πάλιν παρασκευάζει σύνοδον ἐπισκόπων συνάγεσθαι κατ᾽ αὐτοῦ. αἰσθόμενος δὲ ὁ Ἰωάννης, τὴν περιβόητον ἐκείνην ἐπὶ τῆς ἐκκλησίας διεξῆλθεν ὁμιλίαν, ἧς ἡ ἀρχή· „Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράσσεται, πάλιν ὀρχεῖται, πάλιν ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου ζητεῖ λαβεῖν“. Τοῦτο πλέον εἰς ὀρμὴν ἐξῆψε τὴν βασιλίδα» ([22]), καὶ ἦγεν εἰς τὴν ἐξορίαν τοῦ Χρυσοστόμου.

([18]) *Βίβλ. Χρον.*, ἔκδ. Βόννης, σ. 478.
([19]) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνη *P. G.*, τ. 67, σ. 673.
([20]) *Αὐτόθι*, σ. 673.
([21]) *Βίος Χρυσοστ.*, ἐν Μίγνη *P. G.*, τ. 114, σ. 1113.
([22]) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνη *P. G.*, τ. 67, σ. 716-717.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

403. Ἡ ἐν Δρυῒ Σύνοδος καθαιρεῖ τὸν Χρυσόστομον.

404. Ὁ Χρυσόστομος παύεται, διαταγῇ τοῦ Ἀρκαδίου.

404, Μέγα Σάββατον. Οἱ ὀπαδοὶ τοῦ Χρυσοστόμου ἐκδιώκονται τῆς Ἐκκλησίας.— Κατὰ τὸν Γεδεών, ἄριστα συνοψίζοντα τὰς ἀρχαίας πηγάς, «ὁ στρατηγὸς Λουκᾶς εἰσελθὼν ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας ἐδίωξε τοὺς τῷ Ἰωάννῃ συγκοινωνοῦντας τεσσαράκοντα ἐπισκόπους καὶ τὸν κλῆρον ὅλον, ἔθετο δὲ καὶ φρουρὰν ἐν τῷ θυσιαστηρίῳ» ([23]).

404, Ἰουνίου 20. Ἐξορία τοῦ Χρυσοστόμου, καὶ ἐμπρησμὸς τῆς Μεγάλης Ἐκκλησίας.— Ὁ μέγας πατριάρχης ἐξορίζεται, ὁπότε «πῦρ θεῖον», λέγει ὁ Μεταφραστὴς Συμεών, «ἐκ μέσου τοῦ θρόνου ᾧ προσεδρεύων τὰς ἱερὰς ἐπήγαγε διδαχάς, ὑπ' οὐδεμιᾶς χειρὸς ἀναφθέν, ... ἀνεῖρεν εἰς ὕψος· εἶτα τὴν στέγην διαφαγόν, κατὰ τῶν νώτων τῶν σεπτῶν δωμάτων ἐχώρει. ἐντεῦθεν ἄνεμος τὴν φλόγα παραλαβὼν ἐπὶ τὸν τῆς συγκλήτου γερουσίας οἶκον . . . . . ἐκκαλεῖται» ([24]).

404, Ἰουνίου 26. Ἀρσάκιος χειροτονεῖται Πατριάρχης ΚΠ.

404, δεύτερον ἥμισυ. Ἔναρξις τῆς τοῦ Ναοῦ ἀνοικοδομήσεως.

405. Βραχύχρονος χηρεία τῆς Ἐκκλησίας.

406, ἀρχαί. Ἀττικὸς χειροτονεῖται Πατριάρχης ΚΠ.

408, Μαΐου 2. Θεοδόσιος ὁ Β΄, ὁ Νεώτερος, ἀναγορεύεται Αὐτοκράτωρ.

408, Ἰουλίου 5. Σεισμὸς ἐν ΚΠ.

412. Σεισμὸς σφοδρὸς ἐν ΚΠ.

413. Ἔγερσις τοῦ μεγάλου ἢ ἐσωτερικοῦ χερσαίου τείχους ΚΠ. ὑπὸ τοῦ Ἀνθεμίου.

415, Ὀκτωβρίου 2. Ἀπόθεσις λειψάνων ἐν τῇ Ἁγίᾳ Σοφίᾳ.— Λέγει τὸ *Πασχάλιον Χρονικόν*· «Ἐκομίσθη ἐν Κωνσταντινουπόλει . . . . . λείψανα Ἰωσὴφ τοῦ υἱοῦ Ἰακὼβ καὶ Ζαχαρίου τοῦ πατρὸς τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, ... ἅτινα ἀπέθεντο ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ» ([25]).

415, Ὀκτωβρίου 10. Ἐγκαίνια τῆς Μεγάλης Ἐκκλησίας μετὰ τὴν πυρπόλησιν.— Κατὰ τὸ *Πασχάλιον Χρονικόν*, «ἐπετελέσθη τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως μηνὶ γορπιαίῳ, πρὸ ς΄ ἰδῶν ὀκτωβρίων, ἡμέρᾳ κυριακῇ» ([26]).

Κατὰ δὲ τὸν Σωζομενόν, Πουλχερία, ἡ ἀδελφὴ Θεοδοσίου τοῦ Νεωτέρου, «ἐκ χρυσοῦ καὶ λίθων τιμίων θαυμάσιόν τι χρῆμα, θεαμάτων κάλλιστον, ὑπὲρ τῆς ἰδίας παρθενίας καὶ τῆς τοῦ ἀδελφοῦ ἡγεμονίας, ἱερὰν ἀνέθετο τράπεζαν ἐν τῇ ἐκκλησίᾳ» ([27]).

417, Ἀπριλίου 20. Σεισμός.— Κατὰ τὸ *Πασχάλιον Χρονικόν*, «σεισμὸς ἐγένετο μέγας» ([28]).

423, Ἀπριλίου 7. Σεισμοί. — Πάλιν κατὰ τὸ αὐτὸ *Χρονικόν*, «πολλοὶ σεισμοὶ ἐγένοντο» ([29]).

426 καὶ 427. Τετράμηνος χηρεία τῆς Ἐκκλησίας.

427, Φεβρουαρίου 28. Σισίνιος ὁ Α΄ χειροτονεῖται Πατριάρχης ΚΠ.

([23]) *Πατρ. Πίνακες*, σ. 150.
([24]) Πασπάτη *Βυζ. Ἀνάκτ.*, ἐν Ἀθήναις, 1885, σ. 100.
([25]) Ἔκδ. Βόννης, τ. α΄, σ. 572-573.
([26]) *Αὐτόθι*, σ. 572.
([27]) Δουκαγγίου *S. S.*, § 53.
([28]) Ἔκδ. Βόννης, τ. α΄, σ. 574.
([29]) *Αὐτόθι*, σ. 580.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

428, Ἀπριλίου 10. Νεστόριος χειροτονεῖται Πατριάρχης ΚΠ.

431, Ἰούνιος. Τρίτη Οἰκουμενικὴ Σύνοδος ἐν Ἐφέσῳ. — Ἐν αὐτῇ παρευρέθησαν διακόσιοι πατέρες.

431. Πεντάμηνος χηρεία τῆς Ἐκκλησίας.

431, Ὀκτωβρίου 25. Μαξιμιανὸς χειροτονεῖται Πατριάρχης ΚΠ.

431. Βάρβαροι καταφεύγουσιν εἰς τὴν Ἁγίαν Σοφίαν. — Κατὰ τὸν Σωκράτην, οἰκέται «ἑνὸς τῶν μεγάλα δυναμένων, βάρβαροι ὄντες τὸ γένος, ἀπηνοῦς τοῦ δεσπότου πειρώμενοι, τῇ ἐκκλησίᾳ προσφεύγουσι. καὶ ξιφηροῦντες, εἰς τὸ θυσιαστήριον εἰσεπήδησαν· παρακαλούμενοί τε ἐξελθεῖν, οὐδενὶ τρόπῳ ἐπείθοντο, ἀλλ' ἐμποδὼν ταῖς ἱεραῖς λειτουργίαις ἐγίνοντο. ἐπί τε ἡμέρας πολλὰς τὰ ξίφη γυμνὰ κατέχοντες, ἕτοιμοι πρὸς τὸ ἀμύνασθαι πάντα τὸν προσιόντα ἐγίνοντο. καὶ δὴ ἕνα τῶν κληρικῶν ἀποσφάξαντες, καὶ ἄλλον τραυματίσαντες, τέλος ἐπικατέσφαξαν ἑαυτούς» ([30]).

432. Νόμος, δι' οὗ οἱ δοῦλοι ἀπαγορεύονται τοῦ καταφεύγειν εἰς τὰ θυσιαστήρια.

434. Πρόκλος χειροτονεῖται Πατριάρχης ΚΠ.

438. Τετράμηνοι σεισμικαὶ δονήσεις ἐν ΚΠ. — Καθὰ διηγεῖται ὁ Θεοφάνης, «σεισμοὶ γεγόνασι μεγάλοι ἐν Κωνσταντινουπόλει ἐπὶ τέσσαρας μῆνας. ὥστε φοβηθέντες οἱ Βυζάντιοι ἔφυγον ἔξω τῆς πόλεως ἐν τῷ λεγομένῳ Κάμπῳ» ([31]).

439. Ἀνακαίνισις τῶν θαλασσίων τειχῶν.

440. Εἰσαγωγὴ τῆς ἑλληνικῆς γλώσσης ἐν τῇ κυβερνήσει.

447. Φλαβιανὸς χειροτονεῖται Πατριάρχης ΚΠ.

447. Μέγας σεισμὸς ἐν ΚΠ. — Τὸ *Πασχάλιον Χρονικὸν* λέγει τὰ ἑξῆς· «Ἐγένοντο σεισμοὶ μεγάλοι, ὥστε τὰ τείχη πεσεῖν· ἐκράτησαν γὰρ ἐπὶ χρόνον, ὥστε μὴ τολμᾶν τινα ἐν οἴκῳ μένειν, ἀλλ' ἔφυγον ἔξω τῆς πόλεως πάντες λιτανεύοντες ἡμέρας καὶ νυκτός» ([32]).

447-448. Ἔγερσις τοῦ ἐλάσσονος ἢ ἐξωτερικοῦ χερσαίου τείχους ΚΠ. ὑπὸ τοῦ ὑπάρχου Κωνσταντίνου.

449, Αὔγουστος ἢ Σεπτέμβριος. Ἀνατόλιος χειροτονεῖται Πατριάρχης ΚΠ.

450, Ἰανουαρίου 26. Σεισμικαὶ δονήσεις ἐν ΚΠ. — Κατὰ τὸ *Πασχάλιον Χρονικόν*, «ἔπαθε Κωνσταντινούπολις ἀπὸ σεισμοῦ μηνὶ αὐδυναίῳ ς' καὶ κ', νυκτός, ... ὥστε μὴ τολμᾶν ἐν οἴκῳ τινὰ μένειν, ἀλλ' ἔφυγον ἔξω τῆς πόλεως πάντες λιτανεύοντες ἡμέρας καὶ νυκτός» ([33]).

450, Αὐγούστου 25. Μαρκιανὸς ἀναγορεύεται Αὐτοκράτωρ.

451, Ὀκτώβριος. Τετάρτη Οἰκουμενικὴ Σύνοδος ἐν Χαλκηδόνι. — Παρευρέθησαν εἰς αὐτὴν ἑξακόσιοι τριάκοντα πατέρες.

457, Ἀπριλίου 30. Λέων ὁ Α', ὁ Μέγας, ἢ Μακέλης, στέφεται καὶ χρίεται Αὐτοκράτωρ ὑπὸ τοῦ Πατριάρχου.

458. Γεννάδιος ὁ Α' χειροτονεῖται Πατριάρχης ΚΠ.

459. Ἔγερσις τοῦ Αὐγουσταίου. — Ἡ χρονολογία αὕτη κατὰ τὸ *Πασχάλιον Χρονικόν* ([34]).

468. Ὁ Βασιλίσκος προσφεύγει εἰς τὴν Μεγάλην Ἐκκλησίαν. — Οὗτος ἦτο ὁ ἀρχη-

---

([30]) *Ἐκκλ. Ἱστορ.*, ἐν Μίγνη *P. G.*, τ. 67, σ. 813.

([31]) *Χρονογρ.*, ἔκδ. Βόννης, τ. α', σ. 143-144.

([32]) Ἔκδ. Βόννης, τ. α', σ. 586.

([33]) *Αὐτόθι*, σ. 589.

([34]) *Αὐτόθι*, σ. 593.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὸς τῆς ἐναντίον τῶν Βανδήλων ἐκστρατείας. Δελεασθεὶς δὲ διὰ χρημάτων, καὶ κακῶς διοικήσας τὰ τοῦ πολέμου, ἐπέστρεψεν εἰς ΚΠ., ὅτε, κατὰ τὸν Προκόπιον, «ἱκέτης ἐκάθητο εἰς τὸ ἱερὸν τοῦ μεγάλου Χριστοῦ τοῦ Θεοῦ (Σοφίας καλοῦσιν οἱ Βυζάντιοι τὸν νεών . . . . .), ἐξαιτησαμένης δὲ Βηρίνης τῆς βασιλίδος τὸν μὲν κίνδυνον τοῦτον διέφυγεν» ([35]).

471. ***Ἀκάκιος χειροτονεῖται Πατριάρχης ΚΠ.***

473. ***Νοεμβρίου 17. Λέων ὁ Β΄, ἢ Νεώτερος, στέφεται ὑπὸ τοῦ πάππου αὐτοῦ Αὐτοκράτωρ, προσλαμβάνων τὸν πατέρα αὐτοῦ Ζήνωνα συγκοινωνὸν τοῦ κράτους.***

474, ***Νοέμβριος. Ζήνων στέφεται Αὐτοκράτωρ.***

477. ***Τυραννία τοῦ Βασιλίσκου. Ὁ Πατριάρχης καλύπτει τὸ Βῆμα τῆς Ἁγίας Σοφίας διὰ μελάνων βήλων.***

477, ***Σεπτεμβρίου 25. Σεισμὸς ἐν ΚΠ.*** — Κατὰ τὸν Θεοφάνη, «ἐγένετο σεισμὸς φοβερὸς ἐν Κωνσταντινουπόλει, ... καὶ ἔπεσον οἰκίαι πολλαί, οἰκίαι τε καὶ ἔμβολοι ἕως ἐδάφους. κατεχώσθη δὲ πλήθη ἀναρίθμητα ἀνθρώπων» ([36]).

477. ***Ὁ τύραννος Βασιλίσκος προσφεύγει εἰς τὴν Ἐκκλησίαν.*** — «Ἀκούσας δὲ ἐξαίφνης Βασιλίσκος», λέγει ὁ Μαλάλας, «ὅτι Ζήνων ὁ βασιλεὺς εἰς τὸ παλάτιον ὥρμησε καὶ εἰσῆλθε καὶ ὅτι ἐδέξαντο αὐτὸν πάντες καὶ Βηρῖνα ἡ δέσποινα, ἡ πενθερὰ αὐτοῦ, λαβὼν οὖν Βασιλίσκος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα ἔφυγεν εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως, εἰς τὸ μέγα φωτιστήριον» ([37]), ἔνθεν ἀποσπασθεὶς ἐξωρίσθη.

480, ***Σεπτεμβρίου 25. Σφοδρὸς σεισμὸς ἐν ΚΠ.*** — Κατὰ τὸν Κεδρηνόν, «σεισμὸς φοβερὸς [γέγονεν] ἐν Κωνσταντινουπόλει, μηνὶ Σεπτεμβρίῳ κε΄, καὶ ἔπεσον ἐκκλησίαι πολλαὶ καὶ οἰκίαι καὶ ἔμβολοι ἕως ἐδάφους, κατεχώσθη δὲ πλῆθος ἀνθρώπων ἀναρίθμητον» ([38]). Μοὶ φαίνεται ὅτι ὁ κλόνος οὗτος εἶνε ὁ ἴδιος μετὰ τοῦ τοῦ 477.

483, ***Μαΐου 5. Γέννησις τοῦ Ἰουστινιανοῦ.***

488, ***Σεπτεμβρίου 26. Σεισμὸς ἐν ΚΠ.*** — Κατὰ τὸ *Πασχάλιον Χρονικόν*, «ἔπαθεν ἀπὸ θεομηνίας σεισμοῦ Κωνσταντινούπολις» ([39]).

489, ***Αὔγουστος. Φραβίτας, Φλαβίτας, Φραίτας, ἢ Φλαβιανός, χειροτονεῖται Πατριάρχης ΚΠ.***

490. ***Εὐφήμιος, ἢ Εὐθύμιος, χειροτονεῖται Πατριάρχης ΚΠ.***

491, ***Ἀπριλίου 9 ἢ 11. Ἀναστάσιος ὁ Α΄, ὁ Δίκορος, ἀναγορεύεται καὶ στέφεται Αὐτοκράτωρ ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ.*** — Ὁ Πορφυρογέννητος λέγει· «Ἀπῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ εἰσῆλθεν διὰ τοῦ νάρθηκος, τὸν στέφανον πρότερον ἀποθέμενος ἐν τῷ μουτατωρίῳ, καὶ λαβὼν αὐτὸν ὁ πραιπόσιτος ἐπέδωκεν αὐτῷ, καὶ ἀπέθετο αὐτὸν ἐν τῷ θυσιαστηρίῳ, καὶ προσήνεγκεν ὁ βασιλεὺς τὰ δῶρα, καὶ εἰσελθὼν εἰς τὸ μουτατώριον ἐφόρεσεν τὸν στέφανον, καὶ ὑπέστρεψεν, καὶ εἰσελθὼν ἐποίησεν τὴν προαγωγὴν τοῦ ὑπάρχου, καὶ ἔδωκεν μίσσας, καὶ ἔθρεψεν τοὺς ἄρχοντας» ([40]).

([35]) *Ἱστορίαι*, ἔκδ. Βόννης, τ. α΄, σ. 339-340.
([36]) *Χρονογρ.*, ἔκδ. Βόννης, τ. α΄, σ. 195.
([37]) *Χρονογρ.* ἔκδ. Βόννης, σ. 379-380.
([38]) *Σύν. Ἱστορ.*, ἔκδ. Βόννης, τ. α΄, σ. 618.
([39]) Ἔκδ. Βόννης, τ. α΄, σ. 605.
([40]) *E. B. T.*, ἔκδ. Βόννης, τ. α΄, σ. 425.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

496. Μακεδόνιος ὁ Β΄ χειροτονεῖται Πατριάρχης ΚΠ.

511. Τιμόθεος ὁ Α΄ χειροτονεῖται Πατριάρχης ΚΠ. — Κατὰ τὸν Ἀναγνώστην Θεόδωρον, «ὅπου δ' ἄν ποτε εἰσῆλθεν ἐν τῇ ἐκκλησίᾳ Τιμόθεος εἰ μὴ πρότερον τὰς εἰκόνας Μακεδονίου κατέσπασε, τῆς λειτουργίας οὐκ ἤρχετο» ([41]).

512, Νοεμβρίου 5. Ταραχὴ ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ.— Ὁ Ζωναρᾶς λέγει· «Ἀναστάσιος δὲ . . . . . ἐβουλήθη προσθεῖναι εἰς τὸ τρισάγιον τό, „ὁ σταυρωθεὶς δι' ἡμᾶς". ἔστειλεν οὖν διὰ τοῦτο εἰς τὴν ἐκκλησίαν τὸν λογοθέτην τε καὶ ἔπαρχον· οἳ ἐν τῷ ἄμβωνι ὡς ἐπ' ὀκρίβαντος στάντες διαγγέλλειν ἤρξαντο τὸ πρόσταγμα τὸ βασιλικόν. κινεῖται τοίνυν ὅσον τοῦ πλήθους τὸ ὀρθόδοξον, καὶ διασπάσαι τοὺς ἄνδρας ὡρμήκεσαν. ἀλλ' οἱ μὲν μόλις τὴν δημοτικὴν μανίαν ἐξέφυγον, τὸ δέ γε πλῆθος εἰς θυμὸν ἐκκαυθὲν κατὰ τῶν οἰκιῶν ἐπῆλθον τῶν εἰρημένων ἀνδρῶν. καὶ τὰς μὲν καθῃρήκασι, τὰ δ' ἐν αὐταῖς διηρπάκασι καὶ πολλοὺς ἀνεῖλον, καὶ εἰς τὸν βασιλέα ἐξύβριζον, τὸν δὲ Βιταλιανὸν ὡς βασιλέα εὐφήμουν, καὶ πολλοὺς οἴκους ἐνέπρησαν» ([42]).

518, Ἀπριλίου 17. Ἰωάννης ὁ Β΄ χειροτονεῖται Πατριάρχης ΚΠ.

518, Ἰουλίου 9. Ἰουστῖνος ὁ Α΄ στέφεται Αὐτοκράτωρ.

520, Φεβρουαρίου 25. Ἐπιφάνιος χειροτονεῖται Πατριάρχης ΚΠ.

521, Φεβρουαρίου 2. Ὁ Ἰουστῖνος εἰςάγει τὴν Ἑορτὴν τῆς Ὑπαπαντῆς.

524. Ὁ Ἰουστινιανὸς νυμφεύεται τὴν Θεοδώραν.

526, Ἰουνίου 8. Ὁ Ἰουστῖνος πενθεῖ ἕνεκα τοῦ σεισμοῦ τῆς Ἀντιοχείας. — Σεισμοῦ φοβεροῦ γενομένου ἐν Ἀντιοχείᾳ, ὁ Ἰουστῖνος, λέγει ὁ Θεοφάνης, «μεγάλως ἤλγησε τὴν ψυχήν, ὥστε ἐπῆρεν τὸ διάδημα τῆς κεφαλῆς αὐτοῦ καὶ τὴν πορφύραν, καὶ ἐπένθησεν ἐν σάκκῳ ἐπὶ ἡμέρας πολλάς, ὥστε καὶ τῇ ἑορτῇ προσελθὼν ἐν τῇ ἐκκλησίᾳ, οὐ κατεδέξατο φορέσαι τὸ στέμμα ἢ τὴν χλαμύδα, ἀλλ' οὕτως λιτῶς προσῆλθεν μανδύαν πορφυροῦν φορέσας, καὶ κλαίων ἐπὶ πάσης τῆς συγκλήτου, καὶ πάντες ἔκλαιον σὺν αὐτῷ πενθικὰ φοροῦντες» ([43]).

527, Ἀπριλίου 1. Ὁ Ἰουστῖνος στέφει τὸν Ἰουστινιανὸν καὶ τὴν Θεοδώραν.

527. Θάνατος τοῦ Ἰουστίνου. Ὁ Ἰουστινιανὸς καὶ ἡ Θεοδώρα μόνοι ἐπὶ τοῦ θρόνου.

529, τέλη. Ὁ Ἰουστινιανὸς διαλύει τὸ ἐν Ἀθήναις πανεπιστήμιον.

530. Σεισμικαὶ δονήσεις.— Κατὰ τὸν Μαλάλαν, «ἐγένοντο σεισμοὶ πολλοὶ κατὰ τόπον, καὶ λιταῖς ἐσχόλαζον ἐν ἑκάστῃ πόλει» ([44]).

532, Ἰανουαρίου 15. Στάσις τοῦ Νίκα, καθ' ἣν πυρπολεῖται ἡ Μεγάλη Ἐκκλησία μετὰ τῶν ἀρχείων καὶ τοῦ Πατριαρχείου. — Τὴν φοβερὰν ἐκείνην στάσιν, ἥτις μικροῦ δεῖν ἀνέτρεπε τὸν Ἰουστινιανόν, οὕτω περιγράφει ὁ Ζωναρᾶς ([45])· «Μίσους γὰρ ἐμφύντος τοῖς δήμοις κατὰ τοῦ αὐτοκράτορος καὶ τῆς βασιλίσσης, ... ὠμονόησαν ἄμφω τὰ μέρη, τό τε Βένετον καὶ τὸ Πράσινον, καίτοι ἀεὶ ἀλλήλοις ἐναντιούμενα, καὶ στάσεως ἤρξαντο. ὁ δέ γε κρατῶν μοῖράν τινα βαρβάρων τῶν καλουμένων Αἰλούρων αὐτοῖς ἐπαφεὶς στῆσαι τὴν στάσιν οὕτως ἐπικεχείρηκεν. ἡ δ' ἀνῆπτο μᾶλλον· μάχης γὰρ συῤῥαγείσης μέσον τῶν δήμων καὶ τῶν βαρβάρων

([41]) Βιβλ. β΄, 29, ἔκδ. Κανταβριγίας, 1720, σ. 578.

([42]) *Ἐπιτ. Ἱστορ.*, ἔκδ. Δίνδορφ, τ. γ΄, σ. 261-262.

([43]) *Χρονογρ.*, ἔκδ. Βόννης, τ. α΄, σ. 266.

([44]) *Χρονογρ.*, ἔκδ. Βόννης, σ. 456.

([45]) Περὶ τῆς συγχρόνου περιγραφῆς τῆς τοῦ Νίκα στάσεως ἴδε Α΄ τόμον, σ. 9-10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

